κῦδος ἔχειν ἀρετάν· πλοῦ-
τος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ,

H′ ἐθέλει δ᾽ αὔξειν φρένας ἀν-
δρός· ὁ δ᾽ εὖ ἔρδων θεούς
ἐλπίδι κυδροτέρᾱι
σαίνει κέαρ. εἰ δ᾽ ὑγιείας
θνατὸς ἐὼν ἔλαχεν
ζώειν τ᾽ ἀπ᾽ οἰκείων ἔχει,
πρώτοις ἐρίζει· παντί τοι
τέρψις ἀνθρώπων βίωι
ἕπεται νόσφιν γε νόσων
πενίας τ᾽ ἀμαχάνου.
ἶσον ὅ τ᾽ ἀφ|νεὸς ἱ-
μείρει μεγάλων ὅ τε μείων
col 6 (2) παυροτέρων· τὸ δὲ πάν-
των εὐμαρεῖν οὐδὲν γλυκύ
θνατοῖσιν, ἀλλ᾽ αἰεὶ τὰ φεύ-
γοντα δίζηνται κιχεῖν.
ὅντινα κουφόταται
θυμὸν δονέουσι μέριμναι,
ὅσσον ἂν ζώηι † χρόνον, τόνδε λάχεν † τι-
μᾶν. ἀρετὰ δ᾽ ἐπίμοχθος
μέν, τ]ẹḷευταθεῖσα δ᾽ ὀρθῶς